ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἃν δ' ἀκούσωμεν τελεῖν.

ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέφουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·
χῶρος δ' ὅδ' ἱρὸς, ὡς ἐπεικάσαι, βρύων
δάφνης, ἐλάας, ἀμπέλου· πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου,
μακρὰν γὰρ ὡς γέροντι προυστάλης ὁδόν.
ΟΙ. κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. χρόνου μὲν εἵνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ. ἔχεις διδάξαι δῆθ' ὅποι καθέσταμεν;
ΑΝ. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
ΟΙ. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων.
ΑΝ. ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι;
ΟΙ. ναὶ, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. ἀλλ' ἐστὶ μὴν οἰκητός· οἴομαι δὲ δεῖν
οὐδὲν, πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ. ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον;

13. ʽἂν (om. δ') A. L. χ' ἃ ʼν B. ἂν δ' Elmsl. χἂν (i. e. καὶ ἃ ἂν) conj. Dind., cui tamen aptius videtur ἂν δ'. Mihi aptius videtur χἂν. Cf. ad O. R. 749. ἂν δ' (ἃ δ' ἂν al.).

15. στέγουσιν mss. στέφουσιν recte, opinor, Wakefield. Cf. Ant. 122. στεφάνωμα πύργων. Eur. Hec. 910. Dionys. Perieg. 1006. Paus. 9, 15. ὡς ἀπ' ὀμμάτων] Cf. Aesch. Ag. 988. Eur. Med. 218.

16. ἱερὸς] ἱρὸς plerique mss. Dind. ὡς ἀπεικάσαι plerique mss. ὡς σάφ' εἰκάσαι A. Elmsl. Wund. Jebb. Lege ὡς ἐπεικάσαι. Cf. 152. ὅσ' ἐπεικάσαι. et ad Tr. 141. 1220.

17. Qu. δάφναις, ἐλάαις, ἀμπέλοις.

21. νυν] νῦν L.

23. δή (δῆ sec. m.) L. Qu. δῆθ'. Cf. 52. ὅποι A. L. ὅπου B. ὅπῃ al. Cf. 227. 476.

25. τοῦτό γ' K. corr. τοῦτον L. et al. ἡμῖν vulg. Dedi ἡμίν.

27. ἐξοικήσιμος] Nauckio suspectum. Fort. οἰκητός· τί μήν;

29. οὐδὲν πονεῖν· πέλας γὰρ ἄνδρα τόνδ' (aut νῷν) ὁρῶ Mein.

30. προστείχοντα A. L. al. προσστείχοντα B. T. Dind. Mein. κἀξορμώμενον] κἀφορμώμενον (i. e. καὶ ἐφ.?) Mein. Fortasse recte.